# Gaze, Vision, and Visuality in Greek literature: Concepts, Contexts, and Reception.

Workshop on the Vocabulary of Gaze and Vision, Freiburg, 4th December 2014

Ian Rutherford
(University of Reading)

## 1. Two gaze-words with a background in Indo-European: σκοπός and δέρκομαι

### 1a. Hym.Hom.Dem.61

Ἠέλιον δ' ἵκοντο θεῶν **σκοπὸν** ἠδὲ καὶ ἀνδρῶν,

### 1b. Hesiod (?), fr.294 (*Aigimios*)

καί οἱ ἐπὶ **σκοπὸν** Ἄργον ἵει κρατερόν τε μέγαν τε
τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα,
ἀκάματον δέ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος
πῖπτεν ἐπὶ βλεφάροις, φυλακὴν δ' ἔχεν ἔμπεδον αἰεί

### 1c. Homer Il.3.342-4

ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο
δεινὸν **δερκόμενοι**· θάμβος δ' ἔχεν εἰσορόωντας
Τρῶάς θ' ἱπποδάμους καὶ ἐϋκνήμιδας Ἀχαιούς.

### 1d Ibycus fr.287, 1-4

Ἔρος αὖτέ με κυανέοισιν ὑπὸ
 βλεφάροις τακέρ' ὄμμασι **δερκόμενος**
κηλήμασι παντοδαποῖς ἐς ἄπει-
 ρα δίκτυα Κύπριδος ἐσβάλλει·

## 2. The Greek for "gaze"

### 2.1 Soph.*OT*1182-5

ἰοὺ ἰού· τὰ πάντ' ἂν ἐξήκοι σαφῆ.
ὦ φῶς, τελευταῖόν σε **προσβλέψαιμι** νῦν,
ὅστις πέφασμαι φύς τ' ἀφ' ὧν οὐ χρῆν, ξὺν οἷς τ'
οὐ χρῆν ὁμιλῶν, οὕς τέ μ' οὐκ ἔδει κτανών.

### 2.2 Herod.9.61

Καὶ οὐ γάρ σφι ἐγίνετο τὰ σφάγια χρηστά, ἔπιπτόν τε αὐτῶν ἐν τούτῳ τῷ χρόνῳ πολλοὶ καὶ πολλῷ πλέονες ἐτρωματίζοντο· φράξαντες γὰρ τὰ γέρρα οἱ Πέρσαι ἀπίεσαν τῶν τοξευμάτων [πολλὰ] ἀφειδέως, οὕτω ὥστε πιεζομένων τῶν Σπαρτιητέων καὶ τῶν σφαγίων οὐ γινομένων **ἀποβλέψαντα** τὸν Παυσανίην πρὸς τὸ Ἥραιον τὸ Πλαταιέων ἐπικαλέσασθαι τὴν θεόν, χρηίζοντα μηδαμῶς σφέας ψευσθῆναι τῆς ἐλπίδος.

### 2.3 Plato, *Charmides* 154c

ἀλλ' ἐγὼ καὶ τοῖς παισὶ προσέσχον τὸν νοῦν, ὡς **οὐδεὶς ἄλλοσ' ἔβλεπεν αὐτῶν, οὐδ' ὅστις σμικρότατος ἦν, ἀλλὰ πάντες ὥσπερ ἄγαλμα ἐθεῶντο αὐτόν**.

## 3. Staring and blinking

### 3.1 Theophrastus, *On Dizziness* fr.8 Sharples

καὶ οἱ τὰς αἰώρας καὶ τοὺς τροχοὺς **θεωροῦντες** ἢ καὶ **συμπεριφέροντες τὴν ὄψιν** ταχὺ σκοτοῦνται· συμβαίνει γὰρ κινουμένην κύκλῳ τὴν ὄψιν κινεῖν τὰ ἐντὸς ἀνωμάλως καὶ ταράττειν. Ἰλιγγιῶσι δὲ καὶ οἱ τὰ ὑψηλὰ καὶ τὰ μεγάλα

καὶ ἀπότομα **ἀποβλέποντες** διὰ τὸ συμβαίνειν μακρὰν ἀποτεινομένην σείεσθαι καὶ κραδαίνεσθαι τὴν ὄψιν· σειομένη δὲ οὕτως καὶ κινουμένη ταράττει καὶ κινεῖ τὰ ἐντός. **Ἀναβλέπουσι** δ' οὐ συμβαίνει τοῦτο διὰ τὸ *(5)* μὴ [ὡς] ἀποτείνειν μακρὰν ἀλλ' ἀποτέμνεσθαι ἐν τῷ φωτί. Γίνεται δ' ἴλιγγος καὶ ὅταν εἰς τὸ αὐτὸ **βλέπωσι καὶ ἐπατενίζωσιν**. Ὃ καὶ ἐπαπορεῖται διὰ τί ποτε κινουμένης κύκλῳ τῆς ὄψεως καὶ ἠρεμούσης συμβαίνει τὸ αὐτὸ πάθος· ἄτοπον γὰρ τὸ ὑπ' ἐναντίων. Αἴτιον δὲ τοῦ μὲν ἐν τῇ κυκλοφορίᾳ τὸ εἰρημένον, τοῦ δ' ἐν τῇ ἐπιστάσει καὶ τῷ ἀτενισμῷ, διότι τὰ ἐν τῷ κινεῖσθαι σωζόμενα διίστησι καὶ ἡ στάσις· τῆς ὄψεως δὲ στάσης, ἑνὸς μορίου, καὶ τἄλλα τὰ συνεχῆ ἐν τῷ ἐγκεφάλῳ ἵσταται· διστάμενα δὲ καὶ χωριζόμενα τὰ βαρέα καταβαρύνει καὶ ποιεῖ τὸν ἴλιγγον. Τὰ γὰρ πεφυκότα κινεῖσθαι τήνδε τὴν κίνησιν σώζεται καὶ συμμένει διὰ ταύτην· εἰ δὲ μή, καθάπερ Ἡράκλειτός φησι, καὶ ὁ κυκεὼν διίσταται μὴ κινούμενος.

### 3.2 Athenaeus 8, 353b

ἀνθρώποις δὲ ὅτι παντοῖος ὁ ὀφθαλμὸς ἠθῶν τε διαφορὰς εἶναι περὶ τοὺς ὀφθαλμοὺς λέγει· τοὺς μὲν γὰρ αἰγωποὺς τῶν ἀνθρώπων πρὸς ὀξύτητα μὲν ὄψεως εὖ πεφυκέναι, τὰ δ' ἤθη βελτίστους εἶναι· καὶ τῶν ἄλλων τοὺς μὲν ἐκτὸς ἔχειν τοὺς ὀφθαλμούς, τοὺς δὲ ἐντός, ἄλλους δὲ μέσως· καὶ τοὺς μὲν ἐντὸς ὀξυωπεστάτους εἶναι, τοὺς δ' ἐκτὸς κακοηθεστάτους· οἱ δὲ μέσως, φησίν, ἔχοντες ἐπιεικεῖς. εἶναι δέ τινας καὶ **σκαρδαμυκτικούς**, τοὺς δ' **ἀτενεῖς**, τοὺς δὲ **μέσους**· ἀβεβαίους δ' εἶναι τοὺς σκαρδαμυκτικούς, ἀναιδεῖς δ' εἶναι τοὺς ἀτενεῖς· τοὺς δὲ μέσους βελτίστων ἠθῶν.

### 3.3 Heliodorus, *Aith.* 3.13 on the fixed vision of gods.

Τοὺς μὲν δὴ βεβήλους κἂν διαλάθοιεν τὴν δὲ σοφοῦ γνῶσιν οὐκ ἂν διαφύγοιεν, **ἀλλὰ τοῖς τε ὀφθαλμοῖς ἂν γνωσθεῖεν ἀτενὲς διόλου βλέποντες καὶ τὸ βλέφαρον οὔποτε ἐπιμύοντες** . . . ἃ δὴ καὶ Ὅμηρος εἰδώς, ἅτε Αἰγύπτιος καὶ τὴν ἱερὰν παίδευσιν ἐκδιδαχθείς, συμβολικῶς τοῖς ἔπεσιν ἐναπέθετο τοῖς δυναμένοις συνιέναι γνωρίζειν καταλιπών, ἐπὶ μὲν τῆς Ἀθηνᾶς

δεινὼ δέ οἱ ὄσσε φάανθεν

εἰπών . . .

## 4. Looking askance or straight, down or up

### 4.1 Anaceon fr.72:

πῶλε Θρηικίη, τί δή με
**λοξὸν ὄμμασι βλέπουσα**
νηλέως φεύγεις, δοκεῖς δέ
μ' οὐδὲν εἰδέναι σοφόν

### 4.2 Xen.*Hell.*7.1.30:

Ἄνδρες πολῖται, νῦν ἀγαθοὶ γενόμενοι **ἀναβλέψωμεν ὀρθοῖς ὄμμασιν·** ἀποδῶμεν τοῖς ἐπιγιγνομένοις τὴν πατρίδα οἵανπερ παρὰ τῶν πατέρων παρελάβομεν . .

### 4.3 Hom.*Il.*1.148-9

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
ὤ μοι ἀναιδείην ἐπιειμένε κερδαλεόφρον

### 4.4 Plato, *Phaedo* 117b

Καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ' ὥσπερ εἰώθει **ταυρηδὸν ὑποβλέψας** πρὸς τὸν ἄνθρωπον, Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πώματος πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν ἢ οὔ;

### 4.5 Call., *Hec.* fr.374

ἡ δὲ πελιδνωθεῖσα καὶ **ὄμμασι λοξὸν ὑποδράξ**
**ὀσσομένη**

## 5. Maximizing vision in unusual ways

### 5.1 Aristotle, *Meteor.*343b, 11-3 on the tail of a star

τῶν γὰρ ἐν τῷ ἰσχίῳ τοῦ κυνὸς ἀστήρ τις ἔσχε κόμην, ἀμαυρὰν μέντοι· **ἀτενίζουσιν** μὲν γὰρ εἰς αὐτὸν ἀμυδρὸν ἐγίγνετο τὸ φέγγος, **παραβλέπουσι** δ' ἠρέμα τὴν ὄψιν πλέον.

## 5.2 Ps.Arist.*Probl.*957b, 18-22

Διὰ τί θατέρου καταληφθέντος ὀφθαλμοῦ ὁ ἕτερος ἀτενίζει μᾶλλον; ἢ διότι ἐκ ταὐτοῦ ἤρτηνται αἱ ἀρχαὶ τῶν ὀφθαλμῶν; θατέρου οὖν κινουμένου καὶ ἡ κοινὴ ἀρχὴ κινεῖται, ἐκείνης δὲ κινουμένης καὶ ὁ ἕτερος. ληφθέντος οὖν θατέρου ἡ κίνησις κινήσει αὐτόν, ὥστε δύναται ἀτενίζειν μᾶλλον.

# 6. Meeting the gaze:

## 6.1 Ar.*Thes.*902:

στρέψον ἀνταυγεῖς κόρας

## 6.2 Xen., *Hiero*1.35

εὐθὺς γὰρ παρὰ τοῦ ἀντιφιλοῦντος ἡδεῖαι μὲν αἱ **ἀντιβλέψεις**, ἡδεῖαι δὲ αἱ ἐρωτήσεις, ἡδεῖαι δὲ αἱ ἀποκρίσεις, ἥδισται δὲ καὶ ἐπαφροδιτόταται αἱ μάχαι τε καὶ ἔριδες·

# 7. Ogling

## 7.1 Hom., *Il.*11.384-6

Τὸν δ' οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης·
τοξότα λωβητὴρ κέρᾳ ἀγλαὲ **παρθενοπῖπα** . . .

## 7.2 Hom., *Od.*19.66-8

"ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις διὰ νύκτα
δινεύων κατὰ οἶκον, **ὀπιπεύσεις** δὲ γυναῖκας;
ἀλλ' ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·

## 7.3 Heliodorus, *Aith.* 8.7: Arsake's stare

Οὐ μὴν οὐδὲ ἡ Ἀρσάκη κατόπιν ἐλείπετο τῶν δρωμένων, ἀλλ' ἴδιον δορυφόρημα καὶ πομπείαν καθ' ἑαυτὴν ὑπέρογκόν τινα σοβοῦσα ὅρμους καὶ πολὺν χρυσὸν ἐνέβαλεν εἰς τὸ Ἰσεῖον, οὑτωσὶ μὲν δοκεῖν δι' ἅπερ καὶ ἡ λοιπὴ πόλις, ἐκ μόνου δὲ τοῦ Θεαγένους τὸν ὀφθαλμὸν ἀναρτήσασα καὶ πλέον τῶν ἄλλων τῆς ἐκείνου θέας ἐμφορουμένη, οὐ μὴν ἔχουσά γε καθαρὸν τὸ ἡδόμενον· ἀλλὰ τὴν Χαρίκλειαν ὁ Θεαγένης ἐξ ὠλένης χειραγωγῶν καὶ τὴν ὀχλικὴν ἐπιφορὰν ἀναστέλλων δριμύ τι τῇ Ἀρσάκῃ ζηλοτυπίας κέντρον ἐνέβαλλεν.

# 8. Theories of vision: ocular Rays

## 8.1 Empedocles, fr.84

ὡς δ' ὅτε τις πρόοδον νοέων ὡπλίσσατο λύχνον
χειμερίην διὰ νύκτα, πυρὸς σέλας αἰθομένοιο,
ἅψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς,
οἵ τ' ἀνέμων μὲν πνεῦμα διασκιδνᾶσιν ἀέντων,
πῦρ δ' ἔξω διαθρῷσκον, ὅσον ταναώτερον ἦεν,
λάμπεσκεν κατὰ βηλὸν **ἀτειρέσιν ἀκτίνεσσιν**·
ὣς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ
λεπτῇσιν τ' ὀθόνῃσι λοχεύσατο κύκλοπα κούρην·
<αἳ> χοάνῃσι δίαντα τετρήατο θεσπεσίῃσιν·
αἱ δ' ὕδατος μὲν βένθος ἀπέστεγον ἀμφιναέντος,
πῦρ δ' ἔξω διίεσκον, ὅσον ταναώτερον ἦεν. .

## 8.2 Plato, *Timaeus* 45b-c: the eye

τῶν δὲ ὀργάνων πρῶτον μὲν φωσφόρα ξυνετεκτήναντο ὄμματα, τοιᾷδε ἐνδήσαντες αἰτίᾳ. τοῦ πυρὸς ὅσον τὸ μὲν κάειν οὐκ ἔσχε, τὸ δὲ παρέχειν φῶς ἥμερον, οἰκεῖον ἑκάστης ἡμέρας, σῶμα ἐμηχανήσαντο γίγνεσθαι. τὸ γὰρ ἐντὸς ἡμῶν ἀδελφὸν ὂν τούτου πῦρ εἰλικρινὲς ἐποίησαν διὰ τῶν ὀμμάτων ῥεῖν λεῖον καὶ πυκνὸν ὅλον μέν, μάλιστα δὲ τὸ μέσον ξυμπιλήσαντες τῶν ὀμμάτων, ὥστε τὸ μὲν ἄλλο ὅσον παχύτερον στέγειν πᾶν, τὸ τοιοῦτον δὲ μόνον αὐτὸ καθαρὸν διηθεῖν. ὅταν οὖν μεθημερινὸν ᾖ φῶς περὶ τὸ τῆς ὄψεως ῥεῦμα, τότ' ἐκπῖπτον ὅμοιον πρὸς ὅμοιον, ξυμπαγὲς γενόμενον, ἓν σῶμα οἰκειωθὲν ξυνέστη κατὰ τὴν τῶν ὀμμάτων εὐθυωρίαν, ὅπῃπερ ἂν ἀντερείδῃ τὸ προσπῖπτον ἔνδοθεν πρὸς ὃ τῶν ἔξω ξυνέπεσεν. ὁμοιοπαθὲς δὴ δι' ὁμοιότητα πᾶν γενόμενον, ὅτου τε ἂν αὐτό ποτε ἐφάπτηται καὶ ὃ ἂν ἄλλο ἐκείνου, τούτων τὰς κινήσεις διαδιδὸν εἰς ἅπαν τὸ σῶμα μέχρι τῆς ψυχῆς αἴσθησιν παρέσχετο ταύτην, ᾗ δὴ ὁρᾶν φαμέν. ἀπελθόντος δὲ εἰς νύκτα τοῦ ξυγγενοῦς πυρὸς ἀποτέτμηται· πρὸς γὰρ ἀνόμοιον ἐξιὸν ἀλλοιοῦταί τε αὐτὸ καὶ κατασβέννυται, ξυμφυὲς οὐκέτι τῷ πλησίον ἀέρι γιγνόμενον, ἅτε πῦρ οὐκ ἔχοντι. παύεταί τε οὖν ὁρῶν, ἔτι τε ἐπαγωγὸν ὕπνου

γίγνεται· σωτηρίαν γὰρ ἣν οἱ θεοὶ τῆς ὄψεως ἐμηχανήσαντο, τὴν τῶν βλεφάρων φύσιν, ὅταν ταῦτα ξυμμύσῃ, καθείργνυσι τὴν τοῦ πυρὸς ἐντὸς δύναμιν, ἡ δὲ διαχεῖ τε καὶ ὁμαλύνει τὰς ἐντὸς κινήσεις, ὁμαλυνθεισῶν δὲ ἡσυχία γίγνεται, γενομένης δὲ πολλῆς μὲν ἡσυχίας βραχυόνειρος ὕπνος ἐμπίπτει, καταλειφθεισῶν δέ τινων κινήσεων μειζόνων, οἷαι καὶ ἐν οἵοις ἂν τόποις λείπωνται, τοιαῦτα καὶ τοσαῦτα παρέσχοντο ἀφομοιωθέντα ἐντός, ἔξω τε ἐγερθεῖσιν ἀπομνημονευόμενα, φαντάσματα.

## 8.3 Ps. Plutarch, *Placita* 4.13-15 on vision

**Περὶ ὁράσεως, πῶς ὁρῶμεν**

Δημόκριτος Ἐπίκουρος κατ᾽ εἰδώλων εἰσκρίσεις ᾤοντο τὸ ὁρατικὸν συμβαίνειν, καὶ κατά τινων ἀκτίνων † εἴσκρισιν † μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν.

Ἐμπεδοκλῆς τοῖς εἰδώλοις τὰς ἀκτῖνας ἀνέμιξε, προσαγορεύσας τὸ γιγνόμενον ἀκτινείδωλον συνθέτως.

Ἵππαρχος ἀκτῖνάς φησιν ἀφ᾽ ἑκατέρου τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν αὐτῶν οἷον χειρῶν ἐπαφαῖς περικαθαπτούσας τοῖς ἐκτὸς σώμασι τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀποδιδόναι.

Πλάτων κατὰ συναύγειαν, τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν (φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμογενῆ ἀέρα, τοῦ δ᾽ ἀπὸ [μὲν] τῶν σωμάτων φερομένου [ἀπορρεῖν] τὸν [δὲ] μεταξὺ ἀέρα εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον συνεντείνοντος τῷ πυρώδει τῆς ὄψεως. αὕτη λέγεται Πλατωνικὴ συναύγεια.

## 8.4 Cf. Pindar fr.123, 3-7

. . . **τὰς δὲ Θεοξένου ἀκτῖνας πρὸς ὄσσων**
**μαρμαρυζοίσας δρακείς**
ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος
ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν
ψυχρᾷ φλογί . . .

# 9. Theoria

## 9.1 Herodotus, *Hist.* 1.29-30 on Solon

ἀπικνέονται ἐς Σάρδις ἀκμαζούσας πλούτῳ ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταί, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες, ὡς ἕκαστος αὐτῶν ἀπικνέοιτο, καὶ δὴ καὶ Σόλων ἀνὴρ Ἀθηναῖος, ὃς Ἀθηναίοισι νόμους κελεύσασι ποιήσας ἀπεδήμησε ἔτεα δέκα, κατὰ **θεωρίης** πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν ἔθετο. αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο δέκα ἔτεα χρήσεσθαι νόμοισι τοὺς ἄν σφι Σόλων θῆται. 30. Αὐτῶν δὴ ὦν τούτων καὶ τῆς **θεωρίης** ἐκδημήσας ὁ Σόλων εἵνεκεν ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον. ἀπικόμενος δὲ ἐξεινίζετο ἐν τοῖσι βασιληίοισι ὑπὸ τοῦ Κροίσου· μετὰ δὲ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ κελεύσαντος Κροίσου τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυρούς, καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. **θεησάμενον** δέ μιν τὰ πάντα καὶ **σκεψάμενον** ὥς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ Κροῖσος τάδε. "Ξεῖνε Ἀθηναῖε, παρ᾽ ἡμέας γὰρ περὶ σέο λόγος ἀπῖκται πολλὸς καὶ σοφίης εἵνεκεν τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν **θεωρίης** εἵνεκεν ἐπελήλυθας· νῦν ὦν ἐπειρέσθαι με ἵμερος ἐπῆλθέ σε εἴ τινα ἤδη πάντων **εἶδες** ὀλβιώτατον." . . .

## 9.2 Democritus fr.195

Δ—ου ... εἴδωλα ἐσθῆτι καὶ κόσμωι διαπρεπέα πρὸς **θεωρίην**, ἀλλὰ καρδίης κενεά.

## 9.3 Plato, *Phaedrus* 247b-d

αἱ μὲν γὰρ ἀθάνατοι καλούμεναι, ἡνίκ᾽ ἂν πρὸς ἄκρῳ γένωνται, ἔξω πορευθεῖσαι ἔστησαν ἐπὶ τῷ τοῦ οὐρανοῦ νώτῳ, στάσας δὲ αὐτὰς περιάγει ἡ περιφορά, αἱ δὲ **θεωροῦσι** τὰ ἔξω τοῦ οὐρανοῦ.

Τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῇδε ποιητὴς οὔτε ποτὲ ὑμνήσει κατ᾽ ἀξίαν. ἔχει δὲ ὧδε—τολμητέον γὰρ οὖν τό γε ἀληθὲς εἰπεῖν, ἄλλως τε καὶ περὶ ἀληθείας λέγοντα—ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ὄντως οὖσα, ψυχῆς κυβερνήτῃ μόνῳ **θεατὴ** νῷ, περὶ ἣν τὸ τῆς ἀληθοῦς ἐπιστήμης γένος, τοῦτον ἔχει τὸν τόπον. ἅτ᾽ οὖν θεοῦ διάνοια νῷ τε καὶ ἐπιστήμῃ ἀκηράτῳ τρεφομένη, καὶ ἁπάσης ψυχῆς ὅσῃ ἂν μέλῃ τὸ προσῆκον δέξασθαι, **ἰδοῦσα** διὰ χρόνου τὸ ὂν ἀγαπᾷ τε καὶ **θεωροῦσα** τἀληθῆ τρέφεται καὶ εὐπαθεῖ, ἕως ἂν κύκλῳ ἡ περιφορὰ εἰς ταὐτὸν περιενέγκῃ. ἐν δὲ τῇ περιόδῳ **καθορᾷ** μὲν αὐτὴν δικαιοσύνην, κ**αθορᾷ δὲ** σωφροσύνην, καθορᾷ δὲ ἐπιστήμην, οὐχ ᾗ γένεσις πρόσεστιν, οὐδ᾽ ἥ ἐστίν που ἑτέρα ἐν ἑτέρῳ οὖσα ὧν

ἡμεῖς νῦν ὄντων καλοῦμεν, ἀλλὰ τὴν ἐν τῷ ὅ ἐστιν ὂν ὄντως ἐπιστήμην οὖσαν· καὶ τἆλλα ὡσαύτως τὰ ὄντα ὄντως **θεασαμένη** καὶ ἑστιαθεῖσα, δῦσα πάλιν εἰς τὸ εἴσω τοῦ οὐρανοῦ, οἴκαδε ἦλθεν.

## 10. Religious viewing

### 10.1 Sophocles fr.837

ὡς τρισόλβιοι
κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη
μόλωσ' ἐς Ἅιδου· τοῖσδε γὰρ μόνοις ἐκεῖ
ζῆν ἔστι, τοῖς δ' ἄλλοισι πάντ' ἔχειν κακά

### 10.2 Callimachus, *Hymn* 6.1-9

Τῶ καλάθω κατιόντος ἐπιφθέγξασθε, γυναῖκες·
'Δάματερ, μέγα χαῖρε, πολυτρόφε πουλυμέδιμνε.'
τὸν κάλαθον κατιόντα χαμαὶ **θασεῖσθε**, βέβαλοι,
μηδ' ἀπὸ τῶ τέγεος μηδ' ὑψόθεν **αὐγάσσησθε**
μὴ παῖς μηδὲ γυνὰ μηδ' ἃ κατεχεύατο χαίταν,
μηδ' ὅκ' ἀφ' αὑαλέων στομάτων πτύωμες ἄπαστοι.
Ἕσπερος ἐκ νεφέων **ἐσκέψατο**, πανίκα νεῖται,
Ἕσπερος, ὅς τε πιεῖν Δαμάτερα μῶνος ἔπεισεν,
ἁρπαγίμας ὅκ' ἄπυστα μετέστιχεν ἴχνια κώρας.

### 10.3 The vision of Mandaulis Aion (inscription from Kalabsha-Talmis in Nubia)

ἀκτινοβόλε δέσποτα,
Μανδοῦλι, Τιτάν, Μακαρεῦ,
σημῖά σού τινα λαμπρὰ **θεάμενος**
ἐπενόησα καὶ ἐπολυπράγμοσα ἀσφαλῶς
ἰδέναι θέλων εἰ σὺ ἶ ὁ ἥλιος· ἀλότριον
ἐμαυτὸν ἐποιησάμην πάσης κακείας
καὶ πάσ[ης ἀθε]ό<τη>τος καὶ ἁγνεύσας ἐς πολὺν
χρόν[ον τῇδε τῇ νυκ]τὶ θείας εὐσεβίας ἵνεκ[εν]
ἐπε[κοιμήθην] καὶ **ἐνθεασάμενος** ἀνέ[γνων].
Νεύω[ν γὰρ κατ]έδειξάς μοι σεαυτὸν ἐν τῷ
χρυσῷ [ῥοὶ τὸ σ]κάφος δι[απε]ρῶντα τὸν
οὐράνι[ον πό]λον· καὶ ΣΤΟΠΙ.Α..Ν δέμματα
κατὰ δεινὸν νυκτιδρόμον ..ΝΑΑ.ΠΙΑΤΟΝ ποιησάμενος
ΕΝΩ καὶ ἁγίῳ τῷ τῆς ἀθανασίας ὕδατι λουσάμενος
φαι[νῃ ὡς παιδί]ον· ἦλθες, κατὰ καιρὸν ἀνατολὰς
ποιο[ύμενος], εἰς τὸν σὸν σηκόν, ξοάνῳ τε σῷ καὶ ναῷ ἔμπνοιαν
παρέχων καὶ δύναμιν μεγάλην· ἔνθα σε ἔγνων, Μανδοῦλι,
ἥλιον τὸν **παντεπόπτην** δεσπότην, ἁπάντων βασιλέα,
Αἰῶνα παντοκράτορα· ὦ τῶν εὐτυχεστάτων λαῶν τῶν κατοικούντων,
ἣν ὁ ἥλιος Μανδοῦλις ἀγαπᾷ, τὴν ἱερὰν Τάλμιν, ἥτις ἐστὶν ὑπὸ
τὰ σκᾶ[πτρα τῆς εὐε]θείρας μυριωνύμου Ἴσιδος.

## 11. Erotic Gaze

### 11.1 Plato, Phaedrus 250d-251b

περὶ δὲ κάλλους, ὥσπερ εἴπομεν, μετ' ἐκείνων τε ἔλαμπεν ὄν, δεῦρό τ' ἐλθόντες κατειλήφαμεν αὐτὸ διὰ τῆς ἐναργεστάτης αἰσθήσεως τῶν ἡμετέρων στίλβον ἐναργέστατα. **ὄψις** γὰρ ἡμῖν ὀξυτάτη τῶν διὰ τοῦ σώματος ἔρχεται αἰσθήσεων, ᾗ φρόνησις οὐχ ὁρᾶται—δεινοὺς γὰρ ἂν παρεῖχεν ἔρωτας, εἴ τι τοιοῦτον ἑαυτῆς ἐναργὲς εἴδωλον παρείχετο εἰς ὄψιν ἰόν—καὶ τἆλλα ὅσα ἐραστά· νῦν δὲ κάλλος μόνον ταύτην ἔσχε μοῖραν, ὥστ' ἐκφανέστατον εἶναι καὶ ἐρασμιώτατον. ὁ μὲν οὖν μὴ νεοτελὴς ἢ διεφθαρμένος οὐκ ὀξέως ἐνθένδε ἐκεῖσε φέρεται πρὸς αὐτὸ τὸ κάλλος, **θεώμενος** αὐτοῦ τὴν τῇδε ἐπωνυμίαν, ὥστ' οὐ σέβεται προσορῶν, ἀλλ' ἡδονῇ παραδοὺς τετράποδος νόμον βαίνειν ἐπιχειρεῖ καὶ παιδοσπορεῖν, καὶ ὕβρει προσομιλῶν οὐ δέδοικεν οὐδ' αἰσχύνεται παρὰ φύσιν ἡδονὴν διώκων· ὁ δὲ ἀρτιτελής, ὁ τῶν τότε **πολυθεάμων**, ὅταν θεοειδὲς πρόσωπον **ἴδῃ** κάλλος εὖ μεμιμημένον ἤ τινα σώματος ἰδέαν, πρῶτον μὲν ἔφριξεν καί τι τῶν τότε ὑπῆλθεν αὐτὸν δειμάτων, εἶτα **προσορῶν** ὡς θεὸν σέβεται, καὶ εἰ μὴ 'δεδίει τὴν τῆς σφόδρα μανίας δόξαν, θύοι ἂν ὡς ἀγάλματι καὶ θεῷ τοῖς παιδικοῖς. ἰδόντα δ' αὐτὸν οἷον ἐκ τῆς φρίκης μεταβολή τε καὶ ἱδρὼς καὶ θερμότης ἀήθης λαμβάνει· δεξάμενος γὰρ τοῦ κάλλους τὴν ἀπορροὴν **διὰ τῶν ὀμμάτων** ἐθερμάνθη, ᾗ ἡ τοῦ πτεροῦ φύσις ἄρδεται,

θερμανθέντος δὲ ἐτάκη τὰ περὶ τὴν ἔκφυσιν, ἃ πάλαι ὑπὸ σκληρότητος συμμεμυκότα εἶργε μὴ βλαστάνειν, ἐπιρρυείσης δὲ τῆς τροφῆς ᾤδησέ τε καὶ ὥρμησε φύεσθαι ἀπὸ τῆς ῥίζης ὁ τοῦ πτεροῦ καυλὸς ὑπὸ πᾶν τὸ τῆς ψυχῆς εἶδος· πᾶσα γὰρ ἦν τὸ πάλαι πτερωτή.

## 11.2 Achilles Tatius 1.9 .4-6

... εὐτυχῶν ἐγκαλεῖς· ἀχάριστος εἶ πρὸς ἔρωτος δωρεάν. οὐκ οἶδας οἷόν ἐστιν ἐρωμένη βλεπομένη· μείζονα τῶν ἔργων ἔχει τὴν ἡδονήν. **ὀφθαλμοὶ γὰρ ἀλλήλοις ἀντανακλώμενοι ἀπομάττουσιν ὡς ἐν κατόπτρῳ τῶν σωμάτων τὰ εἴδωλα·** ἡ δὲ τοῦ κάλλους ἀπορροή, δι᾽ αὐτῶν *(5)* εἰς τὴν ψυχὴν καταρρέουσα, ἔχει τινὰ μίξιν ἐν ἀποστάσει· καὶ ὀλίγον ἐστὶ τῆς τῶν σωμάτων μίξεως· καινὴ γάρ ἐστι σωμάτων συμπλοκή. ἐγὼ δέ σοι καὶ τὸ ἔργον ἔσεσθαι ταχὺ μαντεύομαι. μέγιστον γάρ ἐστιν ἐφόδιον εἰς πειθὼ συνεχὴς πρὸς ἐρωμένην ὁμιλία. ὀφθαλμὸς γὰρ φιλίας πρόξενος καὶ τὸ σύνηθες τῆς κοινωνίας εἰς (χάριν ἀνυσιμώτερον.

## 11.3 Heliodorus, *Aith*.3.5.5-7

Ταῦτα εἶπε, καὶ ὁ μὲν ἔσπενδε, τὸ πῦρ δὲ Θεαγένης ἐλάμβανεν· ὅτε, φίλε Κνήμων, καὶ ὅτι θεῖον ἡ ψυχὴ καὶ συγγενὲς ἄνωθεν τοῖς ἔργοις ἐπιστούμεθα· ὁμοῦ τε γὰρ **ἀλλήλους ἑώρων** οἱ νέοι καὶ ἤρων, ὥσπερ τῆς ψυχῆς ἐκ πρώτης ἐντεύξεως τὸ ὅμοιον ἐπιγνούσης καὶ πρὸς τὸ κατ᾽ ἀξίαν οἰκεῖον προσδραμούσης. Πρῶτον μὲν γὰρ ἀθρόον τι καὶ ἐπτοημένον ἔστησαν καὶ τὴν δᾷδα ὁλκότερον ἡ μὲν ἐνεχείριζεν ὁ δὲ ὑπεδέχετο, **τοὺς ὀφθαλμοὺς ἀτενεῖς** ἐπὶ πολὺ κατ᾽ ἀλλήλων **πήξαντες** ὥσπερ εἴ που γνωρίζοντες ἢ ἰδόντες πρότερον ταῖς μνήμαις ἀναπεμπάζοντες· εἶτα ἐμειδίασαν βραχύ τι καὶ κλεπτόμενον καὶ μόνῃ τῇ διαχύσει τοῦ βλέμματος ἐλεγχόμενον. Ἔπειτα ὥσπερ καταιδεσθέντες τὸ γεγονὸς ἐπυρρίασαν, καὶ αὖθις, τοῦ πάθους οἶμαι καὶ τὴν καρδίαν ἐπιδραμόντος, ὠχρίασαν, καὶ ἁπλῶς μυρίον εἶδος ἐν ὀλίγῳ τῷ χρόνῳ τὰς ὄψεις ἀμφοῖν ἐπεπλανήθη καὶ μεταβολὴ παντοία χροιᾶς τε καὶ βλέμματος τῆς ψυχῆς τὸν σάλον κατηγοροῦσα.

# 12. The ekphrastic gaze

## 12.1 Euripides, *Ion* 190-218: Athenian chorus at Delphi

{—} ἰδού, τᾶιδ᾽ **ἄθρησον·**
Λερναῖον ὕδραν ἐναίρει
χρυσέαις ἅρπαις ὁ Διὸς παῖς·
φίλα, **πρόσιδ᾽ ὄσσοις**.
{—} **ὁρῶ**. καὶ πέλας ἄλλος αὐ-
τοῦ πανὸν πυρίφλεκτον αἴ-
ρει τις· ἆρ᾽ ὃς ἐμαῖσι μυ-
θεύεται παρὰ πήναις,
ἀσπιστὰς Ἰόλαος, ὃς
κοινοὺς αἰρόμενος πόνους
Δίωι παιδὶ συναντλεῖ;
<{—}> καὶ μὰν τόνδ᾽ **ἄθρησον**
πτεροῦντος ἔφεδρον ἵππου·
τὰν πῦρ πνέουσαν ἐναίρει
τρισώματον ἀλκάν.
{—} πάνται τοι **βλέφαρον διώ-
κω. σκέψαι** κλόνον ἐν τείχεσ-
σι λαΐνοισι Γιγάντων.
{—} †ὧδε **δερκόμεσθ**᾽, ὦ φίλαι.†
{—} **λεύσσεις** οὖν ἐπ᾽ Ἐγκελάδωι
γοργωπὸν πάλλουσαν ἴτυν ...;
{—} **λεύσσω** Παλλάδ᾽, ἐμὰν θεόν.
{—} τί γάρ; κεραυνὸν ἀμφίπυρον
ὄβριμον ἐν Διὸς
ἑκηβόλοισι χερσίν;
{<—>} **ὁρῶ**· τὸν δάιον
Μίμαντα πυρὶ καταιθαλοῖ.
{<—>} καὶ Βρόμιος ἄλλον ἀπολέμοι-
σι κισσίνοισι βάκτροις
ἐναίρει Γᾶς τέκνων ὁ Βακχεύς.

## 12.2 Achilles Tatius 5.1.4-6: Clieitophon in Alexandria

ἐγὼ δὲ μερίζων τοὺς ὀφθαλμοὺς ἐς πάσας τὰς ἀγυιὰς **θεατὴς** ἀκόρεστος ἤμην καὶ τὸ κάλλος ὅλον οὐκ ἐξήρκουν **ἰδεῖν**. τὰ μὲν **ἔβλεπον**, τὰ δὲ ἔμελλον, τὰ δὲ ἠπειγόμην **ἰδεῖν**, τὰ δὲ οὐκ ἤθελον παρελθεῖν· ἐκράτει **τὴν θέαν τὰ ὁρώμενα**, εἷλκε τὰ προσδοκώμενα. περιάγων οὖν ἐμαυτὸν εἰς πάσας τὰς ἀγυιὰς καὶ πρὸς τὴν **ὄψιν** δυσερωτιῶν εἶπον καμών· "Ὀφθαλμοί, νενικήμεθα." εἶδον δὲ δύο καινὰ καὶ εἶπον καμών· "Ὀφθαλμοί, νενικήμεθα." εἶδον δὲ δύο καινὰ καὶ παράλογα, μεγέθους πρὸς κάλλος ἅμιλλαν καὶ δήμου πρὸς πόλιν φιλονεικίαν καὶ ἀμφότερα νικῶντα· ἡ μὲν γὰρ ἠπείρου μείζων ἦν, ὁ δὲ πλείων ἔθνους. καὶ εἰ μὲν εἰς τὴν πόλιν **ἀπεῖδον**, ἠπίστουν εἰ πληρώσειέ τις δῆμος αὐτὴν ἀνδρῶν, εἰ δὲ εἰς τὸν δῆμον **ἐθεασάμην**, ἐθαύμαζον εἰ χωρήσειέ τις αὐτὸν πόλις. τοιαύτη τις ἦν ἰσότητος τρυτάνη.